*Οὔκουν δεῖ ὑμᾶς, ὦ βουλή, τηλικούτου ὄντος τοῦ κιν-* 18
*δύνου, ῥᾳδίως ἀποδέχεσθαι τοὺς τούτου λόγους, ἀλλ'*
*ἐνθυμουμένους ὅτι περὶ τῆς πατρίδος μοι καὶ τοῦ βίου*
*ὁ ἀγών ἐστιν, ἐν ὑπολόγῳ ταύτας τὰς προκλήσεις ποι-*
*εῖσθαι. καὶ μὴ ζητεῖτε τούτων ἔτι μείζους πίστεις· οὐ*
*γὰρ ἂν ἔχοιμι εἰπεῖν ἀλλ' ἢ ταύτας, ὡς οὐδὲν εἰς τοῦ-*
*τον προὐνοήθην. ἀγανακτῶ δ', ὦ βουλή, εἰ διὰ πόρνην* 19
*καὶ δούλην ἄνθρωπον περὶ τῶν μεγίστων εἰς κίνδυνον*
*καθέστηκα, τί κακὸν πώποτε τὴν πόλιν ἢ αὐτὸν τοῦτον*
*εἰργασμένος, ἢ εἰς τίνα τῶν πολιτῶν ὁτιοῦν ἐξαμαρτών;*
*οὐδὲν γὰρ ἔμοιγέ ἐστι τοιοῦτον πεπραγμένον, ἀλλ' ἀλο-*
*γώτατον πάντων κινδυνεύω πολὺ μείζω συμφορὰν ἐμαυ-*
*τῷ διὰ τούτους ἐπαγαγέσθαι. πρὸς οὖν παίδων καὶ* 20
*γυναικῶν καὶ θεῶν τῶν τόδε τὸ χωρίον ἐχόντων ἱκετεύω*
*ὑμᾶς καὶ ἀντιβολῶ, ἐλεήσατέ με, καὶ μὴ περιίδητε ἐπὶ*
*τούτῳ γενόμενον, μηδὲ ἀνηκέστῳ συμφορᾷ περιβάλητε·*
*οὐ γὰρ ἄξιος οὔτ' ἐγὼ φεύγειν τὴν ἐμαυτοῦ, οὔτε οὗτος*
*τοσαύτην δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ὧν φησιν ἠδι-*
*κῆσθαι, οὐκ ἠδικημένος.*

5.

## ΥΠΕΡ ΚΑΛΛΙΟΥ ΙΕΡΟΣΥΛΙΑΣ ΑΠΟΛΟΓΙΑ.

*Εἰ μὲν περὶ ἄλλου τινὸς ἢ τοῦ σώματος, ὦ ἄνδρες* 1
*δικασταί, Καλλίας ἠγωνίζετο, ἐξήρκει ἄν μοι καὶ τὰ παρὰ*
*τῶν ἄλλων εἰρημένα· νῦν δέ μοι δοκεῖ αἰσχρὸν εἶναι,*
*κελεύοντος καὶ δεομένου, καὶ φίλου ὄντος καὶ ἐμοὶ καὶ*
*ἕως ἔζη τῷ πατρί, καὶ πολλῶν συμβολαίων ἡμῖν πρὸς*
*ἀλλήλους γεγενημένων, μὴ βοηθῆσαι Καλλίᾳ τὰ δίκαια,*
*ὅπως ἂν δύνωμαι. ἐνόμιζον μὲν οὖν οὕτως μετοικεῖν αὐ-* 2
*τὸν ἐν ταύτῃ τῇ πόλει, ὥστε πολὺ πρότερον ἀγαθοῦ τινος*